τούτους προειπεῖν βούλομ' αὐτοῖς μὴ ποεῖν.
ἴςως μὲν ἄτοπον καὶ λέγειν· οὐκ ἐν γάμοις
ἐςτὶν γὰρ ἥκοντος τοιούτου νῦν λόγου.
ὅμως δὲ τὴν θύραν γε κόψας ἐκκαλῶ
τὸν Δᾶον· οὗτος γὰρ προςέξει μοι μόνος.

Δα. πολλὴ μὲν ὑμῖν ταῦτα ςυγγνώμη ποεῖν,
ἐκ τῶν δ' ἐνόντων ὡς μάλιςτα δεῖ φέρειν
ἀνθρωπίνως τὸ ςυμβεβηκός.

Ϲμ. πρὸς ς' ἐγὼ
πάρειμι, Δᾶε.

(Δα.) πρὸς ἐμέ;

(Ϲμ.) ναὶ μὰ τὸν Δία.
ὤφελε μὲν οὖν ἐκεῖνος, ὃν δίκαιον ἦν,
ζῆν καὶ διοικεῖν ταῦτα καὶ τεθνηκότος
ἐμοῦ γενέςθαι τῶν ἐμῶν κατὰ τοὺς νόμους
κύριος ἁπάντων.

(Δα.) ὤφελεν. τί οὖν;

(Ϲμ.) τί γάρ;
πρεςβύτατός εἰμι τοῦ γένους. ἀδικούμενος
ἀεί τε πλεονεκτοῦντα τὸν ἀδελφόν τι μου
ὁρῶν ἀνέχομαι.

(Δα.) νοῦν ἔχεις.

(Ϲμ.) ἀλλ', ὦγαθέ,
οὐδὲ μετριάζει, νενόμικεν δὲ παντελῶς
οἰκότριβά μ' ἢ νόθον τιν', ὃς νυνὶ γάμους
ἐπόει διδοὺς οὐκ οἶδ' ὅτωι ⟨τὴν⟩ παρθένον,
οὐκ ἐπανενεγκών, οὐκ ἐρωτήςας ἐμέ,
ἐμοὶ προςήκων ταὐτό, θεῖος ὢν ὅπερ
κἀγώ.

(Δα.) τί οὖν δή;

(Ϲμ.) πάντα ταῦτ' ὀργίζομαι



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41693384X/17 UNIVERSITÄT LEIPZIG